ἐπὶ πᾶν τεῖχος ὑψηλὸν [16]καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης καὶ ἐπὶ 16
πᾶσαν θέαν πλοίων κάλλους· [17]καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, 17
καὶ πεσεῖται ὕψος ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ. [18]καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν [19]εἰσενέγ- 18 19
καντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς
τὰς τρώγλας τῆς γῆς ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ
τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. [20]τῇ 20
γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀρ-
γυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν προσκυνεῖν, τοῖς ματαίοις καὶ ταῖς
νυκτερίσιν [21]τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας 21
καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου κυρίου
καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.
[1]Ἰδοὺ δὴ ὁ δεσπότης κύριος σαβαωθ ἀφελεῖ ἀπὸ τῆς Ιουδαίας 3
καὶ ἀπὸ Ιερουσαλημ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν
ὕδατος, [2]γίγαντα καὶ ἰσχύοντα καὶ ἄνθρωπον πολεμιστὴν καὶ δικα- 2
στὴν καὶ προφήτην καὶ στοχαστὴν καὶ πρεσβύτερον [3]καὶ πεντη- 3
κόνταρχον καὶ θαυμαστὸν σύμβουλον καὶ σοφὸν ἀρχιτέκτονα καὶ
συνετὸν ἀκροατήν· [4]καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, 4
καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. [5]καὶ συμπεσεῖται ὁ λαός, ἄν- 5
θρωπος πρὸς ἄνθρωπον καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ·
προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν
ἔντιμον. [6]ὅτι ἐπιλήμψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ 6
οἰκείου τοῦ πατρὸς αὐτοῦ λέγων Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν
γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. [7]καὶ ἀποκριθεὶς ἐρεῖ 7
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Οὐκ ἔσομαί σου ἀρχηγός· οὐ γάρ ἐστιν ἐν
τῷ οἴκῳ μου ἄρτος οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ
τούτου. [8]ὅτι ἀνεῖται Ιερουσαλημ, καὶ ἡ Ιουδαία συμπέπτωκεν, καὶ 8
αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς κύριον ἀπειθοῦντες·
διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, [9]καὶ ἡ αἰσχύνη τοῦ προσώπου 9
αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδομων ἀνήγ-
γειλαν καὶ ἐνεφάνισαν. οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται
βουλὴν πονηρὰν καθ᾽ ἑαυτῶν [10]εἰπόντες Δήσωμεν τὸν δίκαιον, 10
ὅτι δύσχρηστος ἡμῖν ἐστιν· τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν
φάγονται. [11]οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν 11
αὐτοῦ συμβήσεται αὐτῷ. [12]λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶν- 12
ται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν· λαός μου, οἱ μα-

17 υψος] υβρις B || 20 γαρ BSLC] > AQ | εποιησεν A || 21 fin.] + (22) παυσασθε υμιν απο του ανθρωπου ω (+ εστιν L) αναπνοη εν μυκτηρι (L -ρσιν) αυτου οτι εν τινι ελογισθη (sic C†; + αυτοις ουτος L, + αυτος O) LC (in O sub ※)

3 1 της ιουδαιας et ιερουσ.] tr. BC = 𝔐 || 2 και ισχυοντα] > S*†, in Q sub ÷ || 8 η 1⁰ > SC || 9 διοτι] οτι A || 12 κυριευσουσιν S*